books2ebooks.eu

Mylius, Heinrich

# Carmen græcum heroicum de salutifera domini nostri Jesu Christi nativitate, in gratiam Erasmi Fabri scriptum.

Lipsiæ
1568

eBooks from your library by
eBooks on Demand
digitised by
Kungliga Biblioteket
National Library of Sweden

# EOD – Millions of books just a mouse click away! In more than 10 European countries!



**Thank you for choosing EOD!**
European libraries are hosting millions of books from the 15th to the 20th century. All these books have now become available as eBooks – just a mouse click away. Search the online catalogue of a library from the eBooks on Demand (EOD) network and order the book as an eBook from all over the world – 24 hours a day, 7 days a week. The book will be digitised and made accessible to you as an eBook.

## Enjoy your EOD eBook!

- Get the look and feel of the original book!
- Use your standard software to read the eBook on-screen, zoom in to the image or just simply navigate through the book
- *Search & Find*: Use the full-text search of individual terms*
- *Copy & Paste Text and Images*: Copy images and parts of the text to other applications (e.g. word processor)*

* Not available in every eBook.

## Terms and Conditions

With the usage of the EOD service, you accept the Terms and Conditions provided by the library owning the book.

- Terms and Conditions: http://books2ebooks.eu/odm/html/nls/en/agb.html

## More eBooks

Already more than 30 libraries in over 12 European countries offer this service.
Search books available for this service: http://search.books2ebooks.eu
More information is available at http://books2ebooks.eu

# Carmen Græcum Heroicum

# DE SALUTIFERA DOMINI NOSTRI IESU CHRISTI NATIVITATE, IN GRATIAM

*Prudentißimi atq; ornatißimi Viri D. ERASMI FABRI Consulis Northusani, Affinis & fautoris colendiß.*

*Scriptum ab*

Henrico Mylio
Northusano.

*LIPSIÆ*
IOHANNES RHAMBA EXCUDEBAT
*Anno*
M. D. LXVIII.

# PRVDENTISS. Pietate & Virtute ornatiss. VIRO D. ERASMO FABRO, CONSVLI NORTHVSANO, AFFINI & fautori suo omni obseruantia colendissimo

χαίρειν καὶ εὐπράττειν

*Henricus Mylius Northusanus.*

Νῦν ὅτε ἠέλιος πάλιν ἤγαγεν ἱερὸν ἦμαρ,
ὧ ἄρα εὐσεβέων Ἐκκλησία σύλλογος ἐσμὸς
ἀρτιεπεῖ στόματι κλείει θεὸν ὑψιμέδοντα,
ἠδὲ δίδωσι χάριν προχέων μελίγηρυν ἀοιδήν.
ᾧ καὶ πᾶσι βροτοῖς ἐν στήθεσι θυμὸς ἰάνθη,
ὅττι λόγον χριστὸν παρέπεμψεν ἀπειθεῖ κόσμῳ
παμμεδέων, πάλαι ὡς ἔλεγον προρρήτορι μύθῳ
μάντιες οἱ θεῖοι, θειόπνευστοί τε προφῆται,
ὅσκεν ἐσαρκώθη, Μαρίης καὶ γαστέρ᾽ ἐν ἁγνῇ
ἔλλαβε τὴν φύσιν ἀνδρομέην κακὰ πολλά γε πάσχων
εἴκελος ὠκυμόροις γεγαώς, ὃς χριστὸς ὑπάρχει
μουνογενὴς ὁμόφοιτος ἀμωμήτοιο τοκῆος.
ἤθελον ἦρα κ᾽ ἐγὼ περὶ σαρκοφόροιο λόγοιο
παῦρα λέγειν καὶ παῦρα γράφειν ὡς εὐσεβές ἐστιν.
ἀλλὰ δὲ ἡμετέρων ἐπέων ῥα συνήγορον ἄνδρα
διζόμενος, φήμῃ, σοφίῃ, ἀρετῇ τε μέγιστον,
Ἐμμενέως ἔκλεξά σε ὦ φιλόμουσε Ἔρασμε,
οὔνομα οὗ αἴνοισι καλοῖς θέμις ἔσκεν ἐπαινεῖν.
εἷς γὰρ σὺ μοῦνος πάντων προφερέστατος ἀνδρῶν,
οὓς Νορθοῦσα τρέφει πόλις εὐδικίῃσι πανόλβος,

καὶ σύγε

καὶ σύ γε πουλυδαεῖς ἄνδρας γὰρ οὔποτε λήγεις.
ἀμφαγαπᾶν, τοῖσίν δὲ λιμὴν καὶ ἄγκυρ᾽ ὑπάρχεις.
καὶ τοὺς εὐσεβέας πάτρης μου μηλοβοτῆρας
κῆρι τε ἐνδυκέως στέργοντας ποίμνια χριστοῦ
Εὐστόργῳ θυμῷ φιλέεις κεχαρισμένα ῥέζων.
σεῦ γοῦν εὔνοιαν κελαδήσει ἤματα πάντα,
πᾶς μὲν ἀνήρ, σέθεν καὶ οὔνομα ἄμβροτον ἔσαι.
Ἀλλὰ δὲ κηδέστης φιλόμουσε Ἔρασμε ἄμυμον
δέξον μεῦ γέρας ἀσπασίως, ὅ,τι πέμπω ἀφαυρόν.
καὶ μηδὲν λήξῃς στέργων ἐμὲ καὶ μεῦ ἀδελφὸν
Ἀνδρείαν, καὶ χεῖρα φέρειν τὴν ἐσθλοδότειραν.
ὑμῖν, καὶ κρατερὸν ἔσο πεῖσμα καὶ ἕρκος ἀνάγκης.
χαῖρε τέλος βιοτὴν τὴν ζῶσαν δ᾽ εὐδιόωσαν,
ἔρρικον μύλιον τε προσώπῳ δέρκε γαλήνῳ.

# CARMEN GRÆcum Heroicum de salutifera Domini nostri IESV CHRISTI natiuitate.

Δεῦτε φίλοι μέροπες περὶ καλλέ᾽ ἀείδετε μολπὴν
καὶ κατὰ θυμὸν ἀγαλλόμενοι μέγα χάρμα ἔχοντες,
παγγενέτην καλαῖς θεὸν ὑμνοπολεῦντες ἀοιδαῖς.
νῦν γὰρ ἐπῆλθε πάλιν δεκτὸς χρόνος αἱρετὸς ἠδέ,
ὃν πάλαι οὐρανόθεν μεμάασιν ἴδεσθαι ἀγαυοὶ
μάντιες ὀβριμόθυμ᾽, ἅγιοι δὲ καὶ ἀνέρες ἄλλοι.
ἀλλὰ θεὸς τότε μή σφιν ἐπικρήηνεν ἐέλδωρ.
Τῷδε λόγος θεοῦ υἱεὶς οὐρανίων ἀπὸ κόλπων
ἦλθ᾽ ἐπιθυμητὸς κήδη ἀπὸ πάντα ἀλάλκων.
προφρονέως καὶ ἐσαρκώθη λόγος αὐτοτέλεστος.

καὶ ἐμίγη ἀνδρέσσι βροτοῖς κατὰ σάρκα ὅμοιος,
ξύνωσέν τε ἑὴν ζαθέην βροτοειδεῖ μορφήν.
Τίπτε δὲ τοῦτο κεν ἔρξε τοκεῦ συναΐδιος υἱὸς
ἰσοφυής; καὶ τίπτε βροτῶν μιν τλήμον' ἔοικεν;
δῆλη δὴ διὰ ταῦτα βροτῶν ἵνα φῦλα βεβήλων
δώμασος ἐκ κρυεροῦ ἀΐδαο ἐλευθεροώσῃ.
καὶ χαρίεντα βίον θνητοῖς πάντεσσιν ὀπάσσῃ.
οὓς γονέες πρωτόπλαστοί τε καὶ ἀρχιγένεθλοι,
δαίμονος οὐλομένης ἀπατώμενοι ἐξ ἀπάτησιν
ἐκβάλλοντ' ἀγαθῶν γυμνοὶ γυμνοῦντες ἑαυτούς.
Αὐτὰρ ἐγὼ μέλλω τοκέων περὶ πτώματος εἴρειν.
ἔλθ' οὖν εἰς τὴν μοῦ κραδίην τὸ πνεῦμα θεοῖο,
εὔχομαι, ἀνθρώπους τόδ' ὀνεῖν εἴωθε γράφοντας,
καὶ στόμα βρέξον ἐμὸν καὶ καλὴν ἔννεπε φωνήν.
Ὡς θεὸς ἀρρήτου μὲν ἀπ' ἀρχῆς τεῦξεν ἅπαντα
τῷ λόγῳ ἰσοφυεῖ σφετέρῳ δυνάμει τε μεγίστῃ,
ὅσσα γε κόσμος ἔχει ἄμετρος, πόντου τε ἄβυσσος,
ἄπνοα καὶ πνείοντα θ' ὁποῖα μὲν εἰσὶν ἐν αἴῃ.
ὕστατα δὴ τότε καὶ τὸν Ἀδὰμ πρωτάνερα πλάσσεν
πλευρογενῆ τ' εὔαν ἄλοχον τῇ μορφῇ ἀρίστην.
Τοὺς δ' ἄμφω ἔθελον παγκάλλιμον εἰκόνα εἶναι
ἀρχετύπου σφετέρου, καθαροὺς τε σοφούς τε καὶ ἁγνούς.
τούνεκεν εὐδένδρου παραδείσου ἐς ἱερὸν ἄλσος
εἷσε θεός, καὶ παντοδαποῖς κόσμησεν ἐκεῖνον
καρποῖσιν χῶρον, παρέδωκε καὶ ὄλβια πάντα.
ὄφρα μὲν εὐφροσυνῶν ἐπιβησάμεν' ἤματα πάντα
ζώσειαν μάκαρες κατατερπόμενοι φίλον ἦτορ.
οὕτω παντοκράτωρ προγόνους φιλέεσκεν ἀγαυοὺς
οὕτω τ' οὐρανίην ἐδεδώκει ἥλικα τιμήν.
Ἀλλ' οἵ αἶτ' ἀγαθῶν τῶνδ' αἶψ' ἀπέληψαν ὀϊζὺν
οὐλομένην, θάνατον πάντεσσι γόνοισι φέροντες.
καὶ γὰρ ἄνωγε θεὸς μὴ καρπῶν τοῦ ἀπὸ δένδρου

θεσπεσίου ἀπόλοιντο, τροφὴν καὶ μηδὲ δρέποιεν.
αὐτὰρ τοιαύτης γε καταφρονέοντες ἐφετμῆς
σχέτλιοι οἱ τοκέες πρῶτοι, θεοῦ ἀστεροπητοῦ,
δαίμονος ἀρχεκάκου καὶ βουλῇ αἶψα πίθοντο.
τοὔνεκεν εὐδένδρου ταχέως θεὸς ἐκ παραδείσου
ἐξέλασεν κατέχων ἐνὶ θυμῷ ἄγριον ὀργήν.
τήν τε δι' ἀμπλακίην τοιαύτην ἔνθεα δῶρα,
τήν γ' ἀρετὴν σοφίην τε ἀφείλετο ἰδμοσύνην τε.
ἐξαπίνης ἦλθεν θάνατος καὶ μοῖρα κελαινὴ
εἰς κόσμον, πάντας δ' ἀνθρώπους ἀμφεκάλυψεν.
ἠδὲ πέπομφ' ἀΐδου στυγνοῖς κρυεροῖς τε δόμοισι.
πάντων δ' ἀνθρώπων φρένας ἦλθεν πένθος ἄλαστον.
οὐδὲ πέλεν βιότου ἐλπωρή, οὐδ' ἀνάπαυμα.
οἴμοι πρωτογόνοι, τίς λύσση ἔσπασεν ὑμᾶς;
ὥστε θεοῦ ἁγίου ἁγίων λελαθέσθαι ἐφετμῶν,
ψευδέσι καὶ σατανᾶ τοῦ ἀνδροφόνου πεπιθέσθαι.
οὐδ' ἐνοήσατε μιν τὸν ἀλάστορα εἶναι, ὀλέθρῳ
ὃς θνητῶν χαίρει ὑβριστὴς ποικιλόβουλος.
ὔμμας γοῦν θεὸς ἀξίας ποτὶ τάρταρα πέμψε.
Αὐτὰρ ὅτ' ἔτις ἔην τάδε ἄλγεα νόσφιν ἀλάλκων:
δὴ τότε μουνογενὴς καὶ ἀτέρμονι σύνθρονος ἕδρῃ
υἱεὺς ἀϊδίου μετὰ πατρὸς γ' ὑψιμέδοντος,
ἐν μὲν ἑοῖς στήθεσσιν ἔχων ἐλεήμονα θυμόν,
ἠδὲ φιλόστοργον, τὸ πλάσμα θέλεν μὴ ὀλέσθαι.
καὶ γε ἔτ' ἦρα προσεῖπε χέων οἰκτίρμονα φωνήν:
Εὖγε πάτερ, μερόπων ἐμὲ δειλαίων ἕλεν οἶκτος
ῥύστης οὐρανίων κατελεύσομαι αὐτίκα κόλπων
ἀπροΐδης ἔσομαι σωτὴρ λαοσσόος ἠδὲ.
καὶ πάλιν ἀνθρώπους, οὓς δαίμων ἐξαπάτησε,
ἄξω πάντας ἐς ἡμετέρην θεοδέγμονα αὐλήν,
ὄλβιοι ὄφρα πάλιν κατὰ γαῖαν ἀπείριτον ὦσι,
καὶ τ' ἐπιχαιρεκάκου σατανᾶ κράτος ἐξαλαπάξω.

μαρνάμενος νικήσω ἐγώ, καὶ οὔπερ ἔπεσεν
Ἐξερύσω, κεφαλὴν κατατρίψας ἶφι βίηφι.
Ὣς φάτ' ἀλεξίκακος κατὰ γαστέρ' ἀμύμονος ἐσδὺς
παρθένου, ἣ εὐνῇ γαμέτῃ τινὶ οὔποτ' ἔμικτο.
πνεύματος ἐξ ἁγίου μὲν ἐκείνη ἔγκυος ἔσκεν.
Ἀλλ' ὅτε ἐξῆλθεν παραὶ Αὐγούστου δυνατοῖο
ἤμασιν ἐν τούτοις κατ' ἀπείρονα γαῖαν ἐφετμή,
ὄφρα βροτοὶ πάντες κατὰ πᾶσαν γῆν πολυφόρβην,
τιμῶνται, ῥέξωσι καὶ ὡς ἐκέλευσε Μονάρχης.
Δὴ τότε καὶ ὁ ἄμωμος ἔβη σωὺ μνήσῃ Ἰωσήφ
Ναζαρὲθ ἐκ πόλεως, εὐμύλου ἐκ γαλιλαίης,
στείχων εἰς ἱερῆς σολύμης αἰπὺ πτολίεθρον,
τῷ περὶ τοῦ Δαβὶδ κλυτὸν οὔνομα Βηθλεὲμ ἔσκε.
ἔκγονος ὅττι κεν ἦν τοῦ ἀγακλείτοιο Δαβίδου.
Ἀλλ' ὅτε νὺξ δνοφερὴ κατέχ' οὐρανὸν ἀστερόεντα,
καί ῥα κεν ὕπνος ἔρυκεν ἀνὰ πτόλιν ἄλλοθεν ἄλλον,
Δὴ τότε καρπαλίμως χαρίεσσα ἐπήλυθεν ὥρη.
τοῦ τοκετοῦ Μαρίης ἁγνῆς θεῖαν κατὰ βουλήν.
καὶ τότ' ἐὸν δὴ πρωτοτόκον τέκεν υἱὸν ἀγαυόν.
λυτρωτὴν ἄμμιν τὸ δέμας τε φύηντε ὅμοιον.
χερσὶν ἐνὶ σπείροις καὶ φάρεσ' ἕλιξε τάχιστα,
καί μιν κτηνοτρόφῳ χθαμαλῇ κατέθηκ' ἐνὶ φάτνῃ.
ὅστις δ' ἀνθρώπων ἠδ' αἰθερίων θεραπόντων
τοῦτο μὲν ἐξαυδᾶν δύναται μέγα θαῦμα ἐνωπῇ.
κτίσματος ὅττι ὅλου τεχνήμων πάντα κυβερνῶν
εἰς τόνδ' ἐνθάδε κόσμον ἀπ' οὐλύμποιο καρήνων
ἦλθε καὶ ἀνδρομέην φύσιν ἔλαβε γαστέρ' ἐν ἁγνῇ.
παρθενικῆς καὶ ἐσαρκώθη, γεγαώς τε τοκῆι
λύτρον: ἵν' ᾖ πάντων μὲν ἀνέστιος ἠδὲ πενιχρὸς
ἀπεύκτους ποίνας μογέῃ, τὰ καὶ ἄλγεα πάσχῃ.
ὃς παρὰ καὶ πάντων ἀνθρώπων πλούσιος ἔσκεν.
οὗτος ἀποτμότατος πάντων καὶ ἄνολβος ἐτύχθη.

Ἀλλὰ δὲ ἀφραδέως κοτέει ὅτε κόσμος ἀλήτης
τῷ χριστῷ χάμαι ἐρχομένῳ καὶ μηδὲ γεραίρει·
σχετλίῳ ἡρώδῃ γε κατεκλάσθη φίλον ἦτορ.
οἱ δὲ ἀνιπτόποδες φαρισαῖοι ἄλλοθεν ἄλλοι
ἐκπάγλως φθονέουσι θεῷ βασιλῆϊ νεογνῷ.
ἠνίδε εὐσεβέων φῦλοι καὶ ἱερόφοιται
ἄγγελοι, οὐρανόθεν ποτὶ τοὺς βαίνουσι νομῆας,
οἳ περὶ τῶν ποιμνῶν μὲν ἐν ἀγρῷ ἀολλέες ἦσαν,
χαρμοσύνην ταύτην πολυήρατον ἀγγελίην τε
ἀγγέλλουσι, θεὸν μέλποντες κοίρανον ὀμφῆς
ἀμφ' εὐεργεσίης τοιαύτης, ὅττι κεν υἱὸν
δειλαίοις παρέπεμψε βροτοῖς μακροῦ ἀπ' ὀλύμπου,
ἀνδρομέοιο γένους ὃς ῥύσης ἔσται ἀμύμων.
καὶ δώσει θνητοῖς τὴν ζωὴν πασιμέλουσαν
ζωὴν τοιαύτην, τὴν οὐ χρόνος οἶδεν ὀλέσσαι.

Καὶ μετέπειτα ἵκοντο μάγοι σεσοφισμένοι ἄνδρες
τηλοῦ ἀπ' ἀντολίης πολυπήρε πολίεθρον
τῶν σολύμων, χριστὸν ζητοῦντες ἄνακτα νεογνὸν,
καὶ ὅτε εὗρον ἐκεῖ παμμίκρου δώματος εἴσω
μητέρι σὺν κεδνῇ, θήλην στόμασιν τε ῥαφῶντα.
ἱκέσιον δ' ἔκλινον ἐπὶ χθονὸς αὐχένα πρηνεῖς
παιδίῳ εὐσεβέως ἁγνῶς τ' ἔχοντο ἰησοῦ,
θησαυροὺς τε φίλους σφετέρους ταῖς χερσὶν ἑλόντες
ἠδὲ πόρον προσενέγκαντες καὶ κάλλιμα δῶρα,
χρυσὸν καὶ σμύρναν, τὸ καὶ εὔοσμον λιβανωτόν.

αὐτὰρ τοῖς δώροις γεραρῶν πολυφίλτατος ἐσμὸς
ἤθελε σημαίνειν, ὅ,τι καὶ τετελεσμένον ἐστὶ.
αὐτὸν ἔμφυν βασιλῆ, ἀρετῇ δυνάμει τμέγιστον,
σκηπτοῦχον μόνον ὃς καὶ ὑπέρτατα δώματα ναίει.
ὅστις ὑπερφιάλους ἐχθροὺς ὑπὸ ποσσὶν ἀγαυοῖς
θήσει, κρημνίσσει καὶ πάντας ἀλάστορας ἄλλους.
καὶ μετὰ ταῦτα θανὼν ἀίδου καταβήσετ' ἐς οἶκον.

ἀλλὰ

ἀλλὰ φιλοθρήνῳ μιμνάσει οὐκ ἐνὶ πότμῳ.
ἂν δ' ἐστήσεται αὖ παλινόστιμος ἐκ θανάτοιο.
κ' εἰς πόλον ὑψιμέλαθρον ἐλεύσεται ἔνδιον ἄστρων.
κεῖθι μάλ' ἡμέτερος γ' ἔσεται γλυκύθυμος ἀρητὴρ
πατρὸς ὃς ἀενάου ἱλάσει ἄγριον ὀργήν.

Ἀλλὰ νεογνὲ ἄναξ τε πολυγλυκύθυμε Ἰησοῦ
ὑψόθεν ὃς κατέβης ἐπὶ τὴν χθόνα πουλυβότειραν,
καὶ μὲν ἐσαρκώθης σὺν θνητοῖς πᾶσιν ὁμιλῶν
ὠκυμόροις, ἡμῖν κατὰ σῶμα καὶ εἶδος ἔοικας.
αὐτὸς ἐγὼ τόσου ἐλέους εὐεργεσίης τε
οὔποτε λήσωμαι, μᾶλλον μάλ' ἐφίμερον ὕμνον
μέλψω μειλιχίως αἰῶνα ἐς· ὧδε γένοιτο.

Τέλος.

books2ebooks.eu

www.books2ebooks.eu

eBooks from your library by

eBooks on Demand

digitised by

National Library of Sweden